περὶ τῶν προσόδων καὶ δαπανημάτων τῆς Σχολῆς· τῶν δὲ προσόδων τῶν ..... δαπανημάτων, αἱ ὑπόλοιποι, εἰ οὕτω τύχοι, ὅσαι περ ἂν προσμένωνται, κἀκεῖνα προστιθέμεν.... τῷ εἰρημένῳ συνοδικῷ καταστίχῳ διὰ τῶν αὐτῶν ἐπιτρόπων τῆς Σχολῆς γνώμῃ τε καὶ εἰδήσει τῶν ἐφόρων, ὁμοίως τοῖς προτέροις τε καὶ ἄρχουσι τοκιζέσθωσαν. Αὐξήσεως δὲ προσγινομένης ταῖς τῆς Σχολῆς προσόδοις τῷ χρόνῳ καὶ τῶν χρημάτων θείᾳ συνάρσει πληθυνομένων πρὸς ἀφθονωτέραν, ὡς εἰκὸς, τοῦ ἀγαθοῦ τῆς παιδείας τοῖς ὁμογενέσι μετάδοσιν προσ....... ἀναλόγως καὶ τὸν τῶν ὑποτρόφων μαθητῶν ἀριθμὸν εὔλογον κέκριται ὠνεῖσθαί τε καὶ ὅσαι δὴ τῶν βίβλων πρόσφοροί τε καὶ χρήσιμοι πρὸς ἐπικόσμησιν μὲν τῆς κατὰ τὴν Σχολὴν βιβλιοθήκης, πρὸς χρῆσιν δὲ μάλιστα τῶν τε διδασκάλων καὶ τῶν μαθητῶν τοῖς ἀπορωτέροις ἀντιγράφουσιν ἂν καὶ ἀναγινώσκουσι καὶ ἐκσφραγίζεσθαι ..... τῆς Σχολῆς τῇ σφραγῖδι πρὸς διάγνωσιν αὐτῶν καὶ ἀσφάλειαν. (Ἔστω) δὲ καὶ βιβλιοθηκάριος εἷς τῶν μαθητῶν ὁ ἐγκριθησόμενος ἐπὶ μισθῷ τῷ προσήκοντι, ἔχων καὶ κατάλογον ἀνὰ χεῖρας τῶν ἐνσφραγίστων βιβλίων, ὡς εἴρηται, ὑπογεγραμμένον παρὰ τῶν ἐπιτρόπων, καὶ ἐνσεσημασμέν(ον) τῇ τῆς Σχολῆς σφραγῖδι, μὴ ἐξὸν αὐτῷ ἐκδιδόναι τῷ αἰτησαμένῳ βιβλίον, μὴ εἰδότων τῶν ἐπιτρόπων. Τὴν δὲ τῆς Σχολῆς σφραγῖδα εἰς τρία μέρη ...., διεγνώκαμεν, ὧν τὸ μὲν, ἑνὶ τῶν ἐπιτροπευόντων ἱερωτάτων ἀρχιερέων ...., τὸ δὲ, ἑνὶ τῶν εὐγενεστάτων ἀρχόντων ἐπιτρόπων, τὸ δὲ τρίτον ἑνὶ τῶν χρησιμωτάτων ἐμπόρων ἐπιτρόπων, ᾗ τινι (χρήσθωσαν) πρὸς ἐπισφράγισιν, ὡς εἴρηται, τῶν τε βιβλίων καὶ ὁμολογιῶν, εἴποτε ἄρα ... καὶ παντὸς ἄλλου τῶν ἀναγκαίων ἐγγράφων.

Γ') δὲ περὶ τὴν αἵρεσιν καὶ ἀποκατάστασιν τῶν δύο δι-